26 Cur aqua ſalſa vino dulci magis quàm auſtero, ſupernatat? Vtrum quòd dulce plus terræ continet, ſicuti vua paſſa. An quia grauius, & lentius dulce eſt, itaque minus miſcetur, immiſtúmque reſidet, atque innatat. 27 Sed cur omnino poſſit innatare, cùm terrena ſit? nanque delatio huius deorſum eſt. Vtrum propter caloré modo ſalis: excremento nanque per ſumma erumpenti res ſimilis eſt. An alia cauſa ſit: nam ſi non propterea ita fiet, vel dulci innatare minus incredibile erit: calidiſſimum enim eſt. 28 Cur fluctus antè interdum veniant quàm venti? An ea de cauſa, qua etiam poſtea deſiſtunt. Primus etenim flatus prius quaſi langueſcit, quàm fluctus ille impulſus: deuenit autem in terram, non ea vnda, quæ prima impulſa eſt, ſed id vice pari ſubinde impellitur, quod proximum deinceps exceperit. 29 Cur litora fluctuoſiora ſolida ſæpe efficiatur, adeò vt planè pauimenta videantur: & vt ſolida ſunt, quę frequentia fluctuum concalluerunt, ita pars remotior ſoluta ſit admodum, & cedens? An propterea quòd fluctus arenam non minutiſſimam, ſed maiuſculam procul eiicit, vt & manus nõ quod minimum eſt, id maximè longè iacere poteſt. Tum etiam cùm permulta, & varia promiſcuè conquatiantur, verſentúrque, pars minimorum interlapſa ſpiſſat, atque conſolidat: mox fluctus reſidentis motio nihil propterea protrudit, ſed opprimit, pauimentátque: ergo quòd exigua procul exilire non queunt, incidit vt ex paruulis moles coagmentetur, quæ quoniam motu frequenti agitatum eſt, continua redditur, arena ſcilicet interlapſante prætenui, dum compages contentione perpetua conſiſtat, cũ fluctu vltimo pauimentatur, & humor leniter, ſenſimque irrorãs conglutinet. At pars ſepoſita oræ arida, diſgregatur, & finditur: lapillis etiam conſtat maiuſculis, minúſq. complanata eſt.

30 Cur ſuperius mare, ſalſius, & calidius ſit, quàm inferius: & puteis quoq. potu idoneis pars ſuperna ſalſior ſit, quàm ima? quanquã eſſe è cõtrario debuit, grauius enim, quod ſalſum eſt. An quia Sol, & aër partẽ humorũ leuiſſimã aſſiduè detrahũt: dulciſſimũ autẽ, quod leuiſſimũ eſt, potiſſimúmq. de propioribus locis hauriunt. Et maris igitur, & aquarũ dulciũ ſumma, vis Solis exercet: itaque ſalſius id eſſe neceſſe eſt, quod his reſiduum extat, vnde humor dulcis exactus eſt, quã vnde nihil, vel minus abiit: propterea calidior quoque pars eadẽ ſuperior eſt: ſalſum.n. quàm dulce,

A κϛ Διὰ τί τῶν ὑδάτων τὸ ἁλμυρὸν ἐπὶ τῷ γλυκεῖ οἴνῳ ἐπιπολάζει μᾶλλον, ἢ ἐπὶ τῷ αὐστηρῷ; πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκὺς, ὥσπερ ἡ ἀσταφίς; ἢ ὅτι βαρύτερος καὶ γλισχρότερος ὁ γλυκύς; ὥσθ' ἧττον μίγνυται· μιγνύμενος δὲ, ἐφίσταται. κζ Διὰ τί ὅλως ἐφίσταται γεῶδες ὄν; ἡ γὰρ οἰκεία φορὰ κάτω. πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς; ἢ διὰ

B τὴν θερμότητα, καθάπερ οἱ ἅλες; ὅμοιον γὰρ ἐξανθήματι. ἢ δι' ἄλλην αἰτίαν; ἢ οὔ; διὰ γὰρ τοῦτο καὶ ἐπὶ τῷ γλυκεῖ μᾶλλον, οὐκ ἄλογον· θερμότατος γάρ. κη Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων, ἢ διότι καὶ τελευτᾷ ὕστερον; τὸ γὰρ πρῶτον πνεῦμα ὡσανεὶ προδιαλύεται τοῦ ὠθέντος κύματος· ἀφικνεῖται δὲ οὐκ αὐτὸ τὸ πρῶτον ὠθὲν, ἀλλ' ἀεὶ ἡ ὦσις γίνεται τοῦ ἐχομένου.

C κθ Διὰ τί αἱ κυματωδέστεραι γαῖ, στερραὶ γίνονται πολλάκις οὕτω σφόδρα, ὥσπερ ἠδαφισμέναι· καὶ ἡ μὲν κυματώδης γῆ, στερεά· ἡ δὲ ἄποθεν, χαῦνος; ἢ διότι ἡ μικρὰ ἄμμος οὐ πόρρωθεν ἐκβάλλεται ὑπὸ τοῦ κύματος, ἀλλὰ ἡ μείζων μᾶλλον; ὥσπερ καὶ τῇ χειρὶ βάλλειν πόρρω, οὐ τὸ ἐλάχιστον μάλιστα δυνατόν. ἔπειτα πολλῶν κυκωμένων, τὰ ἐλάχιστα ἐμ-

D πίπτοντα, πυκνοῖ. ἡ δὲ τοῦ κύματος, λοφῶντος κίνησις ἐδαφίζει, κινεῖ δὲ οὐκ ἔτι. διὰ μὲν οὖν τὸ τὰ μικρότατα μὴ πόρρω δύνασθαι πηδᾶν, ἐκ μικρῶν σφόδρα συντέθειται· διὰ δὲ τὸ πολλάκις κινεῖσθαι, συνεχὲς γίνεται πιπτούσης ἄμμου, ἕως ἂν συναρμόσῃ. διὰ δὲ τὸ κῦμα τὸ τελευταῖον ἐδαφίζεται, καὶ τὸ ἠρέμα ὑγρὸν συγκολλᾷ. ἡ δὲ πόρρω, ξηρά τε οὖσα, διίσταται, καὶ ἐκ μειζόνων ἐστὶ λιθιδίων, καὶ

E ἀνεδάφιστος. λ Διὰ τί τῆς θαλάσσης τὰ ἄνω τῶν ἐν τῷ βάθει ἁλμυρότερα καὶ θερμότερα· ὁμοίως δὲ καὶ ἐν τοῖς φρέασι τοῖς ποτίμοις τὸ ἐπιπολῆς ἁλμυρότερον τοῦ εἰς βάθος; καίτοι ἔδει τὸ κατωτέρω· βαθύτερον γὰρ τὸ ἁλμυρόν. ἢ διότι ὁ ἥλιος καὶ ὁ ἀὴρ ἀνάγει ἀεὶ τὸ ἐλαφρότατον ἀπὸ τῶν ὑγρῶν; τὸ δὲ ποτιμώτερον, ἀεὶ κουφότερον, μᾶλλον δὲ ἀπάγει

F ἀπὸ τῶν ἐγγυτέρω τόπων. ὥστε καὶ τῆς θαλάσσης, ἀπὸ τῶν ἐπιπολῆς καὶ τῶν ποτίμων, ἀνάγκη τὸ λειπόμενον ἁλμυρότερον εἶναι, ἀφ' ὧν ἀνῄρηται, ἢ ἀφ' ὧν μηδὲν, ἢ ἔλαττον τὸ γλυκύ. διὰ τοῦτο δὲ καὶ θερμότερα τὰ ἄνω. τὸ γὰρ ἁλμυρὸν, θερμότερον τοῦ ποτίμου.

δι' ὅ